ὧν. ἐπειδὰν, τῶν κατ᾽ ἐκεῖνα τὰ χωρία μορίων ἡ ἐξήγησις γί-
νηται, τηνικαῦτα διαλέξομαι :-

## Κεφάλαιον τοῦ τετάρτου βιβλίου :

Περὶ χρείας τῶν ἐν ἀνθρώπου σώματι μορίων.
Περὶ οἰσοφάγου: περὶ σπληνός: περὶ κοιλίας:
περὶ λεπτῶν ἐντέρων: περὶ ἐπιπλόου:
περὶ ἐντέρων παχέων: περὶ περιτοναίου:
περὶ ἥπατος καὶ μεσαραίου :~

Ἐπεὶ δὲ τρέφεσθαι μὲν ἀναγκαῖον ἐστὶ τοῖς τοῦ ζώου μο-
ρίοις· εἴσοδος δ᾽ εἰς τὸ σῶμα. μία τοῖς σιτίοις ἡ διὰ
τοῦ στόματός ἐστι· εὐλόγως ἡ φύσις ὁδοὺς παμπόλλους
ἔτεμε το. τὰς μὲν οἷον λεωφόρους τε καὶ κοινὰς ἁπάντων
τῶν τρεφομένων· τὰς δ᾽ οἷον στενωπούς τινας ἐφ᾽ ἕκα-
στον μόριον διακομίζουσας τὴν τροφήν. ἡ μὲν οὖν κοινὴ καὶ
μεγίστη καὶ πρώτη πασῶν ὁδὸς ἀπὸ τοῦ στόματος ἐς τὴν
γαστέρα φέρει. καθάπερ εἰς ταμιεῖον κοινὸν ἁπάντων
μορίων, ἐν μέσῳ τῷ ζώῳ καθιδρυμένον. ὄνομα δὲ τῆς ὁδοῦ
ταύτης, τὸ μὲν ἴδιον οἰσοφάγος· τὸ δὲ κοινὸν στόμα-
χος· ἅπας γὰρ κοιλίας, ὁ πρὸ τεταγμένος αὐχὴν στενός.
οἷον ἰσθμός τις, οὕτως ὀνομάζεται. τὸ δὲ ταμιεῖον τοῦτο
τὴν τροφὴν ἅπασαν ἐκδεχόμενον, γαστέρα τε καὶ
οὐ κατ᾽ ἀνθρώπων ὑπάρχων δημιούργημα, πονεῖ περὶ ταύτην
τὸν πρῶτον πόνον· οὐ χωρὶς, ἀλλοιῶσαί τε καὶ οὐδὲν ὄφε-
λος ἐστὶ τῷ ζώῳ· καθάπερ μὲν γὰρ ἐξ αὐτῶν ὡς πρὸς οἱ περὶ τὴν
τοῦ σίτου κατεργασίαν ἐπιστήμονες. ἐπὶ γῆς· ἢ λίθων.
ἢ ἀγρίων ἐμφέροιτο σπέρματα τὸν λυμαίνεσθαι τοῖς σώ-
μασι πεφυκότων. οὕτω καὶ ἡ τῆς γαστρὸς δύναμις· ἃ μέντοι.

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

The Polonsky Foundation

© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_251/0148